ἀνηλώκασι καὶ φιλοτίμως λελῃτουργήκασι καὶ νίκας
πολλὰς καὶ καλὰς ἐν δημοκρατίᾳ νενικήκασι, καὶ ὅτι
αὐτὸς κόσμιός ἐστι καὶ οὐχ ὁρᾶται ποιῶν ἃ ἕτεροι ἐν-
4 ταῦθα τολμῶσιν, ἀλλὰ τὰ ἑαυτοῦ πράττειν ἀξιοῖ. ἐγὼ
δὲ πρὸς τούτους τοὺς λόγους οὐ χαλεπὸν οἶμαι ἀντειπεῖν·
πρὸς μὲν τὰς λῃτουργίας, ὅτι κρείττων ἦν ὁ πατὴρ αὐ-
τοῦ μὴ λῃτουργήσας ἢ τοσαῦτα τῶν ἑαυτοῦ ἀναλώσας·
διὰ γὰρ ταῦτα πιστευθεὶς ὑπὸ τοῦ δήμου κατέλυσε τὴν
δημοκρατίαν, ὥστ' εἶναι ταῦτα τὰ ἔργα ἀειμνηστότερα
5 ἢ τὰ ἐκ τῶν λῃτουργιῶν αὐτῷ ἀναθήματα· πρὸς δὲ τὴν
ἡσυχιότητα τὴν τούτου, ὅτι οὐ νῦν δεῖ αὐτὸν ἐξετάζειν
εἰ σώφρων ἐστίν, ὅτ' αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν,
ἀλλ' ἐκεῖνον τὸν χρόνον σκοπεῖν, ἐν ᾧ ἐξὸν ὁποτέρως
ἐβούλετο ζῆν εἵλετο παρανόμως πολιτευθῆναι. τοῦ μὲν
γὰρ νῦν μηδὲν ἐξαμαρτάνειν οἱ κωλύσαντες αἴτιοι, τῶν
δὲ τότε γενομένων ὁ τούτου τρόπος καὶ οἱ τούτῳ ἐπι-
τρέπειν ἀξιοῦντες. ὥστ' ἐὰν ἐκ τούτων δοκιμάζεσθαι
ἀξιοῖ, ταῦτα χρὴ ὑπολαμβάνειν, μὴ εὐήθεις αὐτῷ εἶναι
δοκῆτε.

6 Ἐὰν δὲ καὶ ἐπὶ τοιόνδε λόγον τράπωνται, ὡς ὁ χρόνος
οὐκ ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλὰ ἀνάγκη, ἐὰν αὐ-
τὸν ἀποδοκιμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι,
τάδ' ἐνθυμήθητε, ὅτι πάλαι ὁ χρόνος ἤδη παρελήλυθεν.
ἡ γὰρ αὔριον ἡμέρα μόνη λοιπὴ τοῦ ἐνιαυτοῦ ἐστιν, ἐν
δὲ ταύτῃ τῷ Διὶ τῷ σωτῆρι θυσία γίγνεται, δικαστήριον
7 δὲ παρὰ τοὺς νόμους ἀδύνατον πληρωθῆναι. εἰ δὲ
ταῦτα πάνθ' οὗτος ὥστε γενέσθαι διαπέπρακται, τί
⟨χρὴ⟩ προσδοκῆσαι δοκιμασθέντ' αὐτὸν ποιήσειν, εἰ τὴν
ἐξιοῦσαν ἀρχὴν πέπεικεν αὐτοῦ ἕνεκα παρανομῆσαι; ἆρ'
ἂν ὀλίγα τοιαῦτα ἐν τῷ ἐνιαυτῷ διαπράξασθαι; ἐγὼ μὲν
8 γὰρ οὐκ ἂν οἶμαι. ἔστι δ' ὑμῖν ⟨οὐ⟩ τοῦτο μόνον